и се вы ѩвѣ всѣ ѩко чевачна єсть винина апла. свирѣлнїца пищали разломльше пре ногама апла поверже. глюще всѣ враѯе се члвкъ ли бъ є. ли бжии є апль аз бо слыша его глюща живькы чеканчню. да оузрю рукѹ твою ѱѡ влачимѹ. да ѡви ѩша вѣрѹ свирѣлници. ови не ѩша. слышав же црь приде гла фомѣ приди со мною да помолиши за дщерь мою ѩко єдиночада ми єсть. и днь ю даю мѹжеви. и пои и введе в чертѡ апль же помолися за на. и оутверди ю изыде рек има миръ гнь блгти его бѹ с вами. и се ре изыде и иде на пѹ свои. всѣ излѣсши жени заклѣсѹ чертоноѵю ѡвлече да невѣстѹ введе к себѣ. и видѣ нѡвна стояща фомѣ и бѣсѣдѹюща с невѣстою. и гла к немѹ не первїе ли всѣ изыде како обрѣте здѣ и ре гь к немѹ нѣсмь азъ фома но бра его єсмь. и сѣде гь на одрѣ нача оучити и глати помнита чадѣ мои є бра мои бѣсѣдова с вами. и комѹ вы преда єсть. се разѹмѣита ѩко аще соблюдетася вес порока то бо прое житїя сего бѹдета цркви стѣ избавлена ѡ всего тлѣнїя ѩвленаго и потаеннаго. и ѡ накостныя и не полезныя печали аще бо бѹдѹ дѣти ѹ вою то тѣ ра имата быти и. и обидѣти вдовица. и сироты и се творяща имата ворещи в лютыя мѹки. но пребѹдета чистащеня ѡ всего. чающе приати ѡистинаго жениха вашю вѣща нетлѣнна. сице поѹчивъ я гь. изыде ре има гь вою бѹди с вами. слышав же юноша и юнка вѣрѹ ꙗста гѹ ипемѹ. и пребыста всю нощъ никако оуснѹвша. оутрѹ бывшѹ црь

ἐιρήνη τοῦ κῦ καὶ ἡ χάρις ἔσται μέθ ὑμῶν. καὶ ἐυθὺς ἐπορεύθη πρὸς τὸν ἔμπορον ἀβάνην. ἐκεῖθεν τε ἐκπλεύσαντες, ὥδευον ἐπὶ τὰ τῆς ἰνδίας μέρη. οἱ μεν τοι νέοι οἱ ὑπὸ τοῦ ἀποστόλου διδαχθέντες. ἡ τοῦ βασιλέως φημι θυγάτηρ καὶ ὁ ταύτης ἀνὴρ. ἑσπέρας καταλαβούσης, καὶ τῶν λοιπῶν πάντων ἐκεῖθεν ἐξελθόντων. κλείσαντες οὗτοι τὰς θύρας τοῦ νυμφῶνος. μόνοι ἐκαθέζοντο οἱ δύο. ἔφικαν ην δε ὥραν ὁμιλήσαντες προς ἀλλήλους περὶ τῶν ὑπὸ τοῦ θωμᾶ πρὸς ἀυτοὺς λαληθέντων. καὶ ἤδη ἅμα συγκαθευδῆσαι μέλλοντες, ἐυτὺς ἐπιφαίνεται ἀυτοῖς ὁ χσ. ἐν τῷ σχήματι τοῦ ἀποστόλου ἐισελθὼν πρὸς ἀυτοὺς. καὶ τοῦτον ἰδόντες συντόμως τῆς κλίνης ἀνεκάθισαν. καὶ λέγει ἀυτῷ ὁ νύμφιος. ουχὶ πρὸ πάντων ἐξῆλθες ἐντεῦθεν; καὶ πῶς νῦν ἐυρέθης ὧδε. καὶ ὁ κσ πρὸς ἀυτὸν ἀπεκρίνατο λέγων. οὐκ ἐιμὶ ἐγὼ ὁ θωμᾶς ἀλλὰ ἀδελφὸς ἀυτου ἐιμί. καθεσθεὶς δὲ ἐπὶ τῆς κλίνης ὁ κς, ἐκέλευσε καὶ ἀυτοὺς καθίσαι ἐπὶ τῶν διφρων. καὶ ἤρξατο ἀυτοὺς διδάσκειν καὶ λέγειν. μνημονευετε τέκνα. ἃ ὁ ἀδελφὸς μου ἐλάλησε πρὸς ὑμᾶς. και τίνι παρέθετο ὑμᾶς; τὰ αὐτὰ κἀγὼ ὑμῖν λέγω. ὅτι. ἐαντηρήσητε ἑαυτοὺς ἀμολύντους ἀπὸ σαρκικῆς συνουσίας. ἔσεσθε τὸ λοιπὸν καθαροὶ καὶ ἅγιοι. ἀπαλλαγέντες θλίψεων καὶ οδυνῶν. φανερῶν καὶ ἀφανῶν. ἃ προξενοῦσιν αἱ τοῦ βίου φροντίδες καὶ τῶν τέκνων, ὧν τὸ τέλος ἀπώλεια. ὑπάρχει. ἐαν γὰρ κτήσησθε τέκνα. μέλλετε διὰ ταῦτα γίνεσθαι. ἅρπαγες καὶ πλεόνεκται. ὀρφανοὺς πνίγοντες. καὶ χήρας ἀδικοῦντες. καὶ ταῦτα ποιοῦντες. ὑποβάλλετε ἑαυτοὺς ἐις δεινας τιμωρίας. ἀλλὰ καὶ τὰ τέκνα πολλάκις γίνονται ἄχρηστα. ὑπὸ δαιμόνων ὀχλούμενα. τὰ μὲν φανερῶς τὰ δὲ καὶ κρυπτῶς. γινονται γὰρ. ἢ σεληνιαζόμενα ἢ ἡμιξηρα. ἢ τυφλωθέντα. ἢ κωφὰ καὶ ἄλαλα. ἢ παραλυτικὰ καὶ μωρὰ γενήσονται. ἐιδὲ καὶ ὑγιῆ τῷ σώματι ἔσονται. διδαχθήσονται φ. 53 οб. βδελυκτὰ ἔργα διαπράττεσθαι. ἐυρεθήσονται γὰρ. ἢ ἐν μοίχειαις. ἢ ἐν κλοπῇ. ἢ ἐν φόνῳ. ἢ ἐν ἄλλοις ἀσελγέσι πράγμασιν ἐργαζόμενοι. καὶ ἐν τούτοις πᾶσιν ὑμεῖς λυπηθήσεσθε, ὑπὸ πάντων δεχόμενοι μέμψεις και ὀνειδισμοὺς. ὡς τοιούτων τέκνων γεγονότες πρες. ἐὰν δὲ ἀκούσητε. τῆς ἐμῆς τε καὶ τοῦ ἐμοῦ ἀδελφοῦ θωμᾶ συμβουλῆς καὶ παραινέσεως. καὶ τηρήσητε τὰ. σώματα καὶ τὰς ψυχὰς ἑαυτῶν ἅγνα τῷ θεῷ, ἔσεσθε ἀμέριμνοι καὶ ἄμεμπτοι ἐν τῷ σὲ τοβίῳ. ἐν δε τῷ μέλλοντι ἀπολήψεσθε ἐκεῖνον τὸν ἄφθαρτον γάμον καὶ ἀληθινόν. συνεισερχόμενοι ἐις τὸν νυμφῶνα τὸν ἐπουράνιον τὸν πλήρη ἀθανάσιας, καὶ φωτὸς ὄντα. ἐν ᾧ καὶ αγαλλιαθήσεσθε. ἐις ἀπεράντους καὶ ἀτελευτήτους αἰῶνας. ταῦτα διδάξας αὐτοὺς ὁ σῆρ. καὶ ἐπευξάμενοις αὐτοῖς, ἐξῆλθεν ἀπ αὐτῶν. Οἱ δὲ νέοι, πάντα τὰ λαληθέντα δεξάμενοι ἐν ταὶς ἑαυτῶν καρδίαις. καὶ πιστεύσαντες τῷ Κῶ. καὶ τοῦ φωτὸς τῆς θεογνωσίας λάμψαντος ἐν ταῖς καρ-

δίαις αὐτῶν, ἀπέσχοντο τῆς ρυπαρᾶς ἐπιθυμίας. καὶ ἔμειναν διὰ νυκτερέυοντες οὕτως, καὶ ἀλλήλους ὑποστηρίζοντες πρὸς εὐσέβειαν. τῇ δὲ ἑξῆς ἡμέρα. ὁ βασιλεὺς πληρώσας τράπεζαν εδεσμάτων, εἰσήνεγκεν ἐν τῷ νυμφῶνι. ἐυωχηθῆναι θέλων περισσοτέρως μετὰ τῶν νεονύμφων. καὶ ἐπὶ τῇ τῶν ἐνώσει εὐφρανθῆναι. ἐισελθὼν τοίνυν, εὗρεν αὐτοὺς κεχωρισμένους καὶ ἀπέναντι ἀλλήλων καθεζομένους. ἰδὼν δὲ τὴν ὄψιν τῆς αὐτοῦ θυγατρὸς ἀκάλυπτον. λέγει αὐτῇ. διὰ τὶ οὕτως καθέζῃ, τέκνον ἀναιδῶς. ὡς ἤδη πολὺν χρόνον συμβιώσασα τῷ ἀνδρί σου. ἡ δὲ ἀποκριθεῖσα λέγει αὐτῷ. ἀλληθῶς πὲρ ἐν πολλῇ ἀγάπῃ ὑπάρχω. τῷ θεῷ μου εὐχαριστοῦσα. ὅτι τὸ τῆς ἀνοιας καὶ αἰσχύνης κάλυμμα ἀφήρηται ἀπ' ἐμοῦ. ἑτέρω τε γάμω ἀληθινῷ συνεζευχθην. καὶ ἐν ἡμέρα χαρᾶς μου οὐκ ἐνεπαίχθην. Ομοίωσ δε καὶ ὁ νύμφιοσ ἤρξατο λέγειν. εὐχαριστῶ σοι. δέσποτα κε̃ Ιυ̃ Χε̃. ὅτι διὰ τοῦ δούλου σου θωμά ἐνεφάνισας ἡμῖν σαυτόν. καὶ τῆς τοῦ σώματος ἀκαθαρσίας ἡμᾶς ἐλυτρώσω. εὐχαριστῶ σοι. τὴν ἑαυτὸν καταγαγοντι ἕως ἡμῶν τῶν ταπεινῶν. φ. 54. τῷ ἀπαλλάξαντι ἡμᾶς τῶν ματαίων καὶ προσκαίρων. καὶ δόντι χεῖρα βοηθείας ἡμῖν ἀπολλυμένοις. εὐχαριστοῦμεν σοι κε̃ Ιυ̃ Χε̃. τῷ βασιλεῖ καὶ δεσπότῃ τῶν ἁπάντων. ὅτι ἀξίους ἡμᾶς. ἔκρινας ἐπιγνῶναι. σὲ τὸν μόνον ὄντα θν̃ ἀληθινὸν. ταῦτα ἀκούσας ὁ βασιλεὺς λαλούμενα ὑπὸ τοῦ νυμφίου τὲ καὶ τῆς νύμφης, διέρρηξεν εαυτοῦ τὴν ἐσθῆτα. Καὶ ἤρξατο κελέυειν μετ' ὀργῆς τοῖς ἑαυτοῦ ὑπηρέταις καὶ λέγειν. ἐξελθόντες τάχεως. περιέλθετε πᾶσαν τὴν πόλιν. καὶ εὑρόντες τὸν πλάνον ἐκεῖνον. τὸν κακῶς ἐνταῦθα παραγεγονότα ἀγάγετε μοι αὐτὸν ὧδε. ἐγὼ γὰρ εἰσήγαγον τοῦτον ἰδίαις χερσιν ἐν τῷ νυμφῶνι. τοῦ ἔυξασθαι ὑπὲρ τῆς ἐμῆς θυγατρὸς. ἐκεῖνος δὲ διέστρεψεν αὐτοὺς. καὶ ἀπώλεσε τὴν ἐμὴν θυγατέρα. ὅστις οὖν εὑρὼν αὐτὸν ἀγάγει μοι ὧδε. σώζει μου τὸ τέκνον. καὶ ἔστι ἂν αἰτήσῃ με ὑπὲρ ταύτης τῆς χάριτος, δίδωμι αὐτῷ μεγαλοψύχως. ἐξελθόντες τοίνυν περιῆλθον πᾶσαν τὴν πόλιν. ζητοῦντες τὸν θωμᾶν. καὶ οὐχ' εὗρον. ἦν γὰρ ἄδη ἐκπλέυσας ἐκεῖθεν μετὰ ἀβάνη τοῦ ἐμπόρου. καθὰ προείρηται. ἀπῆλθον δὲ οἱ ζητοῦντες τοῦτον, ἐν ὧ ἦν καταλύσας πανδοχειω. καὶ εὑρόντες ἐκεῖσε καθεζομένην τὴν αὐλήτριαν καὶ κλαίουσαν πικρῶς διὰ τὴν τοῦ ἀποστόλου ἀναχώρησιν, ἐξηγήσαντο αὐτῇ τὰ περὶ τῆς θυγατρὸς τοῦ βασιλέως καὶ τοῦ ταύτης ἀνδρὸς. ὅπως τῇ διδαχῇ ἐκείνου πρὸς θεογνωσίαν ἐπέστρεψαν. καὶ τῆς ἀλλήλων ἀπέχοντο συνουσίας ταῖς παραινέσεσι αὐτοῦ καὶ ἀγαθαῖς συμβουλίαις. Ταῦτα ἀκούσασα ἡ αὐλήτρια. ἐχάρη σφόδρα. καὶ τὴν λύπην ἀποθέμενη, ἀπῆλθεν ἀναστάσασα πρὸς τοὺς νέους. καὶ ἦν σὺν αὐτοῖς χρόνον ἱκανὸν. ἕως ἂν καὶ τὸν βασιλέα πρὸς θεογνωσίαν ἐπέστρεψαν. φωτισθέντες ἤδη τὰς ψυχὰς. τῇ τοῦ ἁγίου πν̃ς χάριτι. χρόνου δὲ πολλοῦ προβεβηκότος. μαθόντες ὅτι ἐν τοῖς μέρεσι τῆς ἰνδίας ὁ θωμᾶς διάγει διδάσκων, ἐπορέυθησαν πρὸς αὐτόν. καὶ ὑπ' ἐκείνου τῷ ἁγίω βαπτίσματι τελεωθέντες, σὺν αὐτῷ διῆγον ἐκεῖσε. Ὅτε δε ἦλθεν ὁ θωμᾶς ἐν ἰνδία μετὰ τοῦ ἐμπόρου, εἰσῆλθεν πρὸς τὸν ἀποστεῖλαντα αὐτὸν βασιλέα ὁ ἀβάνης. καὶ ἀνήγγειλεν αὐτῷ περὶ τοῦ θωμᾶ ὡς ἔστιν ἱκανώτατος καὶ ἐπιτήδειος. περὶ τε τὴν οἰκοδομικὴν καὶ τὴν ἄλλην πασαν τεκτονικὴν ἐπιστήμην. ἀκούσας δὲ ὁ βασιλεὺς. λίαν ἐχάρη. καὶ αὐτῇ τῇ ὥρα προσέταξεν εἰσενεχθῆναι τὸν θωμᾶν πρὸς αὐτόν. εἰσελθόντος οὖν τοῦ ἀποστόλου πρὸς τὸν βασιλέα, ἠρώτησεν αὐτὸν λέγων. ποίαν ἐργασίαν γινώσκεις ἐν ξύλοις. καὶ ποίαν ἐν λίθοις. ὁ δὲ ἀπεκριθεὶς ἔιπεν. ἐν μὲν ξύλοις, πλοῖα τὲ καὶ ἁμάξας. ἄροτρα τε καὶ ζυγοὺς. καὶ ὅσαπερ ἄλλα διὰ ξύλων κατασκευάζονται ἔργα. ἐν λίθοις δὲ ἐπίσταμαι. στήλας καὶ ναοὺς οἰκοδομεῖν. καὶ παλάτια βασιλικὰ. Ὁ δὲ βασιλεὺς. ἐπὶ πλεῖον περιχαρεὶς, λέγει. κἀγὼ τοιούτων ἔργων χρειαν ἔχω. ἐν πρώτοις οὖν βούλομαι σε κτίσαι μοι παλάτιον. δι' οὗ σου καὶ ἡ περὶ τὰ λοιπὰ ἔργα δοκιμωτάτη πεῖρα βεβαιωθήσεται. λαβὼν δὲ αὐτὸν κατ' ἰδίαν ὁ βασιλεὺς, διελέγετο ἐπιμελῶς τούτω περὶ τῆς οἰκοδομῆς τοῦ παλατίου. καὶ παρήγγελλεν ἀσφαλῶς. πᾶσαν σπουδὴν καὶ ἐπιμέλειαν περὶ τὸ τοιοῦτο ἔργον ἐνδείξασθαι. καὶ ἀπελθὼν σὺν αὐτῷ. ὑπεδείκνυεν τουτω τὸν τοπον ἐν ᾧ ἔμελλε κτισθῆναι

наложи трапезу и внесе пре ни. и обрѣте а сѣдѧща противу себе. лице невѣстино ѿкровенно сѫще. и гла к ней почто сице сѣдиши една и не покровена по ꙗко многа лѣта поживше с муже си. она ѿвѣща глюще воистину ѡче во многи любве есвѣ. и гу нашемоу моливѣса. ꙗко покро стыда вы ѿта ѿ мене. зане иному браку соучтена есмь истину и во днь радости сї непрещена вы. и в днь млчїа не смятоса. тако имъ нать глати. хвалю та вако ги ꙇсе хе ꙗвленса на страниньи рабо твой. избави ма ѿ спаденїа свѣдми уво са до мене смиренна свобожен ма ѿ времани простри руку гивнущи ми. ги ꙇсе хе всѣ вако црю сты истины хвалиш та о всѣ. си слиша црь растерза ризы своа. и ше рече изшедше скоро приведите ми лъстьца оного да и аз своима рукама погублю его. аще ли кто обрѣ приведе ми то спеть дщерь мою. его аще проси да ему. шеше же и обходиша всю землю и не обрѣтше приидоша к гостиницу и обрѣте пѣскателнїцу едину плачющу его ра. и востакше прiде къ оуношема и вѣ с ними служаше има. оуноша ти научиша цра по времени мнозѣ оуслыша авàн ꙗко во индии оучить и шеша прiаша ѿ не свою благтную. просвѣщени выкше въ имѧ ѡца и сна и стго дха. егда прииде авàнъ во индею со авванo купце. авие возвести црви. о зижници и возрадовасѧ и повелѣ фомѣ внити. и гла к нему кое дѣло умѣєши во древѣ. ѿвѣща авàнъ древо убо рала. колеса весла кормила. стежера. каменїем же стопы цркве. дворы цркыа. црь не оливвса радости и ре. и азъ такого хитреца требую. но созижи ми полату. и пои и вѣсвдоваше с ни о здании полаты и како подобае камен положити. егда приидоша до мѣста идѣ хотѣ полату здати гла ему на

τὸ παλάτιον. καὶ λέγει αὐτῶ ὁ ἀπόστολος. ἀληθῶς βασιλεῦ. πάνυ ἔστιν ἐπιτήδειος ὁ τόπος πρὸς οἰκοδομὴν παλατίου. ἦν δὲ ὁ τόπος ἀλσώδης. ὕδατα πολλὰ ἔχων. καὶ περὶ τὴν λοιπὴν θέσιν σεμνοπρεπὴς ὤν. καὶ λέγει αὐτῶ ὁ βασιλεὺς. ἄπαρξαι τοῦ κτίζειν λοιπὸν. διότι καὶ ὁ καιρὸς ἁρμόδιος. ἔστιν ἄρτι. λέγει δὲ ὁ ἀπόστολος. νῦν οὐ δύναμαι ἄρξασθαι κτίζειν ἐν τῶ καιρῶ τούτω. καὶ ὁ βασιλεὺς φησίν. καὶ πότε. εἶπεν δὲ ὁ ἀπόστολος. ἄρχομαι ὑπερβερεταίω μηνὶ, καὶ πληρῶ ἀπριλλίω. θαυμάσας δὲ ὁ βασιλεὺς εἶπεν. πᾶσα οἰκοδομὴ. θέρους γίνεται. σὺ δὲ ἐν αὐτῶ τῶ χειμῶνι δύνασαι κτίζειν; καὶ φησίν ὁ ἀπόστολος. οὕτως ὀφείλει γενέσθαι. καὶ ἄλλως οὐ γίνεται. ὁ δὲ βασιλεὺς εἶπεν, ἐι τοίνυν τοῦτο σοι ἔδοξε, κᾂν διαχάραξόν μοι. ἵνα ἴδω πῶς γίνεται τὸ ἐργον. Ἐπειδὴ διὰ χρόνοῦ παραγίνομαι ἐνταῦθα. λαβὼν δὲ κάλαμον ὁ ἀπόστολος, διεχάραξε μὲν τὸν τόπον. φ. 55. καὶ τὰς μὲν θύρας ἔστησε κατὰ τὴν ἀνατολὴν τοῦ ἡλίου βλέπειν τὸ φῶς. τὰς δὲ θυρίδας. κατὰ δύσιν πρὸς τοὺς ἀνέμους. τὸ δε ἀρτοποίειον. πρὸς μεσημβρίαν ἐποίησεν εἶναι. τὸν δὲ ἀγωγὸν τοῦ ὕδατος τοῦ ἐις ὑπηρέσιαν ἐις τὸ ἀρκτῶον μέρος διεσήμανε γενέσθαι. ἰδὼν οὖν ὁ βασιλεὺς τὸν τόπον λέγει τῶ θωμᾶ. ἀληθῶς ἀν͂ε. τεχνίτης εἶ. Καὶ πρέποι σοι βασιλεῖ ἐξυπηρετεῖσαι, καὶ δοὺς αὐτῶ χρήματα πολλὰ ἐις τὴν τῆς οἰκοδομῆς δῆθεν ἔξοίον καταλιπὼν αὐτὸν ἀπῆλθεν. συχνότερως δὲ ἀπέστειλλεν αὐτῶ καὶ ἄλλα χρήματα καὶ τὰ ἐπιτήδεια πάντα. ὅπως μηδὲν λείψη αὐτῶ ἐν τῶ ἔργω. λαβὼν δὲ ὁ ἀπόστολος παρὰ τοῦ βασιλέως. τὰ χρήματα. δεχόμενος δὲ καὶ τὰ ὑπ' αὐτοῦ πεμπομενα. περιήρχετο τὰς πόλεις καὶ τὰς κώμας. οἰκονομῶν καὶ διανέμων ταῦτα τοῖς δεομένοις πᾶσιν. ἔλεγε γὰρ. τὰ τοῦ βασιλέως χρήματα. τῶ βασιλεῖ δοθήσεται. Καὶ ἄνεσις ἔσται πολλοῖς. μετὰ δὲ χρόνον τινὰ. ἀπέστειλε πρὶς αὐτὸν ὁ βασιλεὺς, μαθεῖν βουλόμενος ἐι ἐκτίσθη τὸ παλατιον. καὶ δηλοῖ αὐτῶ ὁ ἀπόστολος. ὅτι. τὸ μὲν παλάτιον ἔκτισται. ἡ στέγη δὲ μόνη λείπεται. τότε πάλιν ἀποστέλλει αὐτῶ χρυσίον καὶ ἄργυρον. γράψας αὐτῶ. πολλὴν θέσιν σπουδὴν Καὶ ἐπιμέλειαν πρὸς ἀπαρτισμὸν τοῦ ἔργου. Ὁ δὲ ἀπόστολος, δεξάμενος καὶ ταῦτα. διέδωκε τοῖς ἐνδέεσσιν καὶ πτωχοῖς. εὐχαριστῶν τῶ σρ͂ι καὶ λέγων. εὐχαριστῶ σοι κε͂ μου Ιῦ Χε͂. ὅτι πέπρακάς με. ἵνα πολλοὺς δἰ ἐμοῦ ἐλευθερώσης τῆς πλάνης καὶ ἀγνωσίας τοῦ ματαίου βίου. ᾽ϑκ ἐπάυετο δὲ διδάσκων καὶ ἐπιστρέφων τοὺς αν͂ους. πρὸς τὴν ἀληθινὴν τῆς σρ͂ιας ὁδόν. διανέμων δε τοῖς δεομένοις τὰ τοῦ βασιλέως χρήματα. ἔλεγεν αὐτοῖς. ταῦτα ὁ Κύριος ὠκονόμησεν ὑμῖν ἀδελφοὶ, αὐτὸς γὰρ χορηγεῖ ἑκάστω τὴν τροφὴν. καὶ αὐτὸς ἔστιν ὁ τροφεὺς τῶν ὀρφανῶν. καὶ οἰκονόμος τῶν χηρῶν. καὶ αὐτος ὑπάρχει πᾶσι τοῖς τεθλιμμένοις. ἄνεσις καὶ παράκλησις. μετὰ δὲ χνόνον πολὺν. ἐρωτήσας δὲ περὶ τῆς οἰκοδομῆς τοῦ παλατίου. λέγουσιν αὐτῶ τινὲς. γινώσκετο σου τὸ κράτος. ὦ βασιλεῦ. ὅτι οὔτε τὸ παλάτιον ἔκτισεν. οὔτε ἕτερον τι ἐποίησεν. ἀλλὰ περιέρχεται τὰς πόλεις καὶ τὰς κώμας. καὶ ἐι τι ἔχει. πάντα δίδωσι τοῖς πένησιν. διδάσκει δε τοὺς αν͂ους. θν͂ νέον. χν͂ λεγόμενον. οὗ καὶ τῆ ἐπικλήσει μόνη νοσοῦντας ἰᾶται καὶ δαίμονας ἀπελάυνει, καὶ ἄλλα ποεῖ παράδοξα. νομίζομεν δε ἡμεῖς. Ὅτι μάγος ἐστὶν. ἀλλὰ ἡ εὐσπλαγνία αὐτοῦ καὶ αἱ ἰάσεις. καὶ αἱ δωρεαὶ αἱ ὑπ' αὐτοῦ γινόμεναι. ἔτι δε καὶ τὸ ἁ π λ ο ῦ ν αὐτοῦ καὶ ἐπιεικὲς. καὶ τὸ πρὸς π ά ν τ α ς συμπαθὲς, συμαίν ει ὅτι δίκαιοσ τις ὀνήρ ἐστιν. ἢ ἀπόστολος θῦ νεοῦ. ὅν αὐτὸς καταγγέλλει. αὐτὸν μόνον εἶναι ἀληθῆ θεὸν. συνεχῶς δὲ νηστέυει ὁ ἀνὴρ οὗτος καὶ εὔχεται. καὶ ἄρτον ἐσθίει μόνον μετὰ ἅλατος. καὶ τὸ πόμα αὐτοῦ ἔστιν ὕδωρ. φορεῖ δὲ καὶ ἕν ἱμάτιον πάντοτε, ἐν τε ψύχει καὶ καύματι. οὐδὲν δὲ παρὰ τινος λαμβάνει. ἀλλὰ καὶ ἅ παρέχει. ἄλλοις αὐτὰ δίδωσιν. ταῦτα ἀκούσας ὁ βασιλεὺς τὴν ἑαυτοῦ ὄψιν. τη ἰδία χειρὶ καλύψας, ἔστη ἐνεὸς ἐπὶ ὥραν ἱκανήν. Ἐπάγη γὰρ ὅλος ὑπὸ τοῦ θυμοῦ καὶ τῆς λυπῆς καὶ ὥσπερ ἐξεσ-

сё мѣстѣ хощꙋ. рече ап҃лъ ѩко мѣсто подобно ѥ на зданїе бѣ бо лѣсно и водꙋ имѣа по обилїю и гл҃а к немꙋ начни здати. гл҃а ап҃лъ не могꙋ здати в се времѧ. цр҃ь же рё когда начнеши. фома рё начнꙋ ѿ перва рекомаго и кончаю до ксантїка. рекомаго. цр҃ь же рё всѧко зданїе лѣте сѧ зижеть а ты зимѣ хощеши здати. ап҃лъ рё тако подобаё быти. цр҃ь рё аще тако хощеши то поне знаменаи ю да вижꙋ зане єдиною лѣто прихождꙋ сѣмо. вземже ап҃лъ трѡ. и начерта всю мѣрꙋ полатнꙋю. и ѡкона же начерта на восто свѣта ра. а двери на запа а хлѣбницꙋ на оугъ а водовожꙋ на сѣверъ. видѣв же цр҃ь образ полаты и гл҃а воистинꙋ чаче хитръ еси. подобаё ти цр҃ви служити и оставль ємꙋ зла много и ѿиде и на всѧко времѧ посылаше ємꙋ злато много. и враша по обилꙋ. ап҃лъ же ѡбхожаше грады и веси раздаваюши требꙋющи. и гл҃аше ꙋбо цр҃во имѣнїе цр҃ви дано бꙋди и ѿрада бꙋдё многы. по лѣтѣ єдино посла к немꙋ цр҃ь оувидѣти хотѧ аще созда бы полата. и посла к немꙋ нарѣче ап҃лъ полата ꙋбо создана бы ꙋже. но недостало ти ѥ еи покрова. тогда паки посла к немꙋ зла много и сребро. и написа к немꙋ да бꙋдё пола соверше. ап҃лъ рё въ гꙋ хвалю вако ги ї҃се х҃е. оумрох бо да оживи мѧ да многы свобожꙋ непреста подарїє творѧ скорбѧщи гл҃а. гь инъ сице изволи есть. ѩко то ѥ чть и сла. ѩко то ѥ питатё сиры и застꙋпи вдовица. и скорбѧщимъ биваё оутѣха. по мнозѣ времени прииде цр҃ь въ гра той. и вопрошаше приатѣлѧ о полатѣ и гл҃а ємꙋ ни зда ни инаго ничего не сътвори. но обходи грады и веси млтнѧ творѧ и подаѧ нищи. и оучи єди бъ соущъ ї҃с х҃ъ. и ино много твори. мртвецѧ воставлаё. хромыѧ цѣли вѣсы ѿгони ходи же во єдиной ризѣ. ѩдь его ѥ хлѣбъ и вода. егда оубо вохвъ ѥ. но исцелені его ѩко твори и простыни ѥ и покоренїе то являеть. ѩко првнїкъ ѥ ли ап҃лъ новаго ба. часто поститсѧ. се слыша цр҃ь рꙋкама возби по лицꙋ своемꙋ.

τηκὼς ἦν. ὅμων δὲ ἐις ἑαυτὸν ἐλθὼν Καὶ πολλῷ τῷ θυμῷ ὑπέρζεσας. μετακαλευσατο τὸν ἀβάνην τὸν ἔρπορον. τὸν καὶ ἀγάγοντα αὐτὸν. σὺν αὐτῷ δὲ, καὶ τὸν ἀπόστολον θωμᾶ. παραστάντων οὖν ἀμφοτέρων τῷ βασιλεῖ, λέγει πρὸς αὐτὸν ὁ βασιλεὺς. ἔκτισας μοι τὸ παλάτιον ; ὁ δὲ ἔφη. ναί. ἔκτισα. καὶ λέγει ὁ βασιλεὺς. πότε οὖν ὑπάγομεν καὶ βλέπομεν αὐτὸ. ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη. νῦν μὲν αὐτὸ ’ἰδεῖν οὐ δύνασαι. ὅτε δὲ, τοῦ βίου τούτου ἐξέλθῃς, τότε βλέπει αὐτό. ῾Ο βασιλεὺς τοίνυν. ὀργισθεὶς πάνυ. ἐκέλευσε δεδεμένους αὐτοὺς βληθῆναι ἐις φυλακὴν. τὸν ·δε ἀβάνην καὶ τὸν θωμᾶν. ἕως ἂν ἀνακρίνας μάθῃ, τίσιν ἐδόθη τὰ τοῦ βασιλέως χρήματα. καὶ ἐκεῖνα μὲν. ἀπαιτήσας ἀναλάβηται ἀπὸ τῶν ἐχόντων. αὐτοὺς δὲ, τὸν ἔμπορον καὶ τὸν ἀπόστολον θωμᾶν, κακᾶς ἀπολέσει. παραχρῆμα δε δήσαντες αὐτοὺς, πρὸς τὴν φυλάκην ἀπήρχοντο ἐμβαλεῖν. ὁ θωμᾶς οὖν χαίρων ἀπείη, λέγων τῷ ἐμπόρῳ. μηδὲ φοβοῦ μηδὲ δειλία. ἀλλὰ μόνον πίστευσον τῷ ἐμῷ Θεῷ, καὶ οὐδενὸς κακοῦ πειραθήσῃ. μᾶλλον δὲ καὶ ἀπὸ τῆς ματαιότητος τοῦ κόσμου τούτου. ἐλευθερωθήσῃ. καὶ ἐν τῷ μέλλοντι αἰῶνι. ζωὴν αἰώνιον φυλ. 56. κληρονομήσεις. τοιούτοις ῥήμασι τὸν ἀβάνην ὁ θωμᾶς διδάξας, ἐπέστρεψεν αὐτὸν πρὸς θεογνώσιαν. Καὶ οὕτως ἐν τῇ φυλακῇ βληθέντες, ὑπῆρχον δοξάζοντες καὶ εὐχαριστοῦντες τὸν θν῀. Εἶχεν δὲ ὁ βασιλεὺς ἀδελφὸν. ὅν καὶ ἠγάπα αὐτὸν ὑπερβαλλόντως. οὗτος τοίνυν ὁ τοῦ βασιλέως ἀδελφὸς, λυπῇ καὶ ἀθυμίᾳ ληφθεὶς περὶ τοῦ συμβάντος αὐτῷ. ἤρξατο ψυχορραγεῖν καὶ ἐμπνέειν τὰ ἔσχατα. μαθὼν δὲ τοῦτο ὁ βασιλεὺς, ἔδραμεν ὥστε φθᾶσαι αὐτὸν ζῶνται ἐκεῖνος δὲ ἀναβλέψας καὶ ἰδὼν τὸν βασιλέα. λέγει πρὸς αὐτὸν. ἰδοὺ ἀδελφέ μου. πάντα σοι τὰ ἐμὰ παρατίθημι τόν τε οἶκον καὶ τὰ πράγματα. καὶ γὰρ ἐγὼ. τῇ ἐπελθούσῃ σοι λύπῃ τὴν ψυχὴν πληγεὶς, ἤδη ἐκλείπω τῆς ζωῆς. ἀλλὰ ἀνάπαυσον μου τὴν ψυχὴν. δειναῖς τιμωρίαισ ἐπεξελθὼν τον(—ω) μαγον.(—ω) ἐκεῖνον.(—ω) ὁ δὲ βασιλεὺς εἶπεν. ἐνεθυμήθην περὶ αὐτοῦ ἵνα ζῶντα αὐτὸν ἐκδήρω. καὶ περίκαυστον ποιήσω τὸ σῶμα αὐτοῦ. Ἔτι δε διαλεγομένων αὐτῶν ἐξέπνευσεν ὁ τοῦ βασιλέως ἀδελφὸς. καὶ λαβόντες τὴν ψυχὴν αὐτοῦ. ἄγγελοι. ἀνήγαγον αὐτὴν ἐις τοὺς οὐν῀ούς. καὶ ὑπεδείκνυον αὐτῇ τὰ ἐκεῖσε ἀγαθὰ, Καὶ ἐπηρώτων ποῦ βούλεται τὴν κατοίκησιν ἔχειν. ὅτε δὲ ἤγγισαν ἐις τὸ θαυμαστὸν παλάτιον. ὅ ἦν κτίσας τῷ βασιλεῖ ὁ θωμᾶς. λέγει ἡ ψυχὴ τοῖς ἀγγέλοις. δέομαι ὑμῶν κύριοι μȣ. ἐις ἓν τῶν κατωγαῖων τούτων ἐάσατέ με μεῖναι. οἱ δὲ εἶπον αὐτῷ. οὐ δύνασαι μεῖναι ἐνθάδε. ἐπειδὴ τοῦ ἀδελφοῦ σου ἐστὶν ὁ οἶκος. ὅν ὠκοδόμησεν αὐτῷ ὁ χριστιανὸς ἐκεῖνος. ὁ Θωμᾶς. ἡ δε ψυχὴ λέγει τοῖς ἀγγέλοις. παρακαλῶ ὑμᾶς κύριοι μου. ἀπολύσατε με ἀπελθεῖν ἵνα ἀγοράσω αὐτὸν παῤ αὐτοῦ. οὐ γὰρ οἶδεν αὐτὸν ὁ ἀδελφός μου. τότε οἱ ἄγγελοι ἀφήκαν τὴν ψυχὴν. ἐπαναστρέψαι πρὸς τὸ ἴδιον σῶμα. ἐν δε τῷ πενθεῖν τὸν βασιλέα τὸν ἴδιον ἀδελφὸν, καὶ μέλλειν αὐτὸν κηδευθῆναι ἐνδυόντων αὐτὸν τὰ ἐντάφια, ἄφνω ἤνοιξεν τοὺς ἑαυτοῦ ὀφθαλμοὺς, ὁ τεθνηκὼς. πάντων δὲ ἐκπλαγέντωνκαὶ θαυμασάντων ἐπὶ τούτῳ. τῷ βασιλεῖ εὐθὺς δραμόντες ἀπήγγειλαν. ὅτι μὴ θρήνει τὸν σὸν ἀδελφὸν. ἀνέζησε γὰρ καὶ καλεῖ σε. ἀκούσας οὖν ὁ βασιλεὺς. ἀνεπήδησε τάχεως καὶ ἦλθε πρὸς τὸν ἴδιον ἀδελφὸν χαίρων σφόδρα καὶ εὐθυμῶν. καὶ τούτῳ περιπλακεὶς κατεφίλει αὐτοῦ πάντα τὰ μέλη. λέγει δὲ τῷ βασιλεῖ ἐκεῖνος. οἶδα ἀδελφέ μου. ὅτι, ὅ ἐὰν ἠτησάμην παρὰ σοῦ ἕως τὸ ἥμισυ τῆς σῆς βασιλείας. ȣ̓ παρεῖδες με τότε. καὶ τὰ νῦν δε. βούλομαι παρὰ σου αἰτήσασθαι πρᾶγμα, καὶ παρακαλῶ σε μὴ παριδεῖν μου τὴν αἴτησιν. καὶ λέγει αὐτῷ ὁ βασιλεὺς. ἀδελφέ μου γλυκύτατε. ἐὰν ἐστιν ἕως τῆς κεφαλῆς μου ἡ αἴτησις. οὐ μή σε παρέλθω. τότε λέγει αὐτῷ. ὅρκῳ με. πληροφφόρησον, ὅτι παρέχεις μοι. καὶ ὤμωσεν αὐτῷ ὁ βασιλεὺς. ὅτι ἐκ τῶν ὑπαρχόντων μοι. εἴτι ἄν αἰτήσῃ με δίδωμι σοι. τότε πεισθεὶς ὁ τοῦ βασιλέως ἀδελφὸς. λέγει αὐτῷ. τὸ παλάτιον ὃ ἔχεισ ἐν τοῖς οὐν῀οις, πώλησον μοι αὐτὸ. ὁ δὲ εἶπεν. Καὶ ἐμοὶ τὸ παλάτιον ἐν οὐν῀οις. πόθεν ὑπάρχει ὁ δὲ

исполнї ꙗрости и привєде фомꙋ и гл҃а ємꙋ създа ли ми полатꙋ. ап҃лъ реⷱ҇ создаⷯ҇. црь реⷱ҇ да когⷣа имаⷨ҇ ю видѣти. ап҃лъ реⷱ҇ не имаши ю видѣти здѣ нн҃ѣ. но егда ѿ житїа сего ѿидеши. црⷭ҇ь разгнѣваⷡ҇ и на кꙋпца повелѣ ꙗ в темницꙋ воврещи и доидеⷤ҇ помыслⷭ҇и о нею кꙋмꙋ данно бꙋдеⷮ҇ имѣⷩ҇е црⷭ҇ко. и тогда ꙗ погꙋбиⷮ҇ ап҃лѣ раⷣ҇ иде в темницꙋ гл҃а кꙋпцꙋ. не бꙋди печаⷧ҇ но к томꙋ моли б҃а и ѿ мира сего свобожеⷩ҇ боудеши но бꙋдꙋю (sic) вѣчнꙋю жизнь наслѣдиши. в тоⷤ҇ нощи црⷭ҇въ браⷮ҇ ѿ печали приключшаѧсѧ црⷭ҇ки в болѣзнь впадѣ и послаⷡ҇ гл҃а ємꙋ се брате все ти предаю доⷨ҇ и имѣнїе мое. аз бо твоеѧ раⷣ҇ печали стꙋжив си ꙋмираю. но покои дш҃ю и мꙋчи лютою м҃кою вълхва ѡного ѡн же реⷱ҇ оумыслиⷯ҇ огнеⷨ҇ сжещи ꙗ одраⷡ҇. он же и дш҃ꙋ ѿдасть. црⷭ҇ь сѣтоваше брата своего. и мышлаше многоцѣнною порфирою обвивши положити его. ан҃гли же поимше дш҃ꙋ его ведоша ю к рӓ. показꙋюще ей тамо мѣсто. и елико ꙋготова б҃ъ любащиⷨ҇ е҃. егда приде на зданїе фомино. вопросиша и ан҃гли в коемъ мѣстѣ хощеши хоⷮ҇ти. он же гл҃а молюⷡ҇ ваⷭ҇ господⷭ҇е мои. во единꙋ ѿ клетеи полаты сеѧ оставите мѧ да живꙋ рѣшаⷭ҇ к неи не мощиⷨ҇ братиѧ бо ти еⷭ҇ть. юⷨ҇ ємꙋ е̃и созда ѡнъ к҃ртиаиⷩ҇. ѿвѣщаⷯ҇ гл҃юще молюⷡ҇ ваⷭ҇ господⷭ҇е мои. не дѣите мене да возвращꙋсѧ и искꙋплю оу него. и абие ѿпꙋстиша ю ан҃гли и прииде паки в тѣло свое. встаⷡ҇ гл҃а къ своиⷨ҇ шеⷭ҇ше призовите ми брата да испрошꙋ ꙋ него прошеⷩ҇е. шеⷭ҇шеⷩ҇ бл҃говѣстиша о братѣ его. он же слышаⷡ҇ радости исполниⷭ҇. прииде и облобыза е҃. он же гл҃а к немꙋ брате вѣⷨ҇ аще бы просиⷯ҇ оу тебе и до полꙋцр҃тва твоего не бы миⷭ҇ николиⷤ҇ ѿрекъ. он же реⷱ҇ брате мои аще и до гл҃вы моеѧ бꙋдеⷮ҇ то не имаⷨ҇ тебе ослꙋшатиⷭ҇ и реⷱ҇ емꙋ клени ми сѧ. кленꙋ же сѧ емꙋ тогⷣа реⷱ҇ емꙋ брате полатꙋ юже имаши на нб҃сѣ ꙗ небѣси продаи ми. онъ реⷱ҇ то имаⷨ҇ ли полатꙋ на нб҃си.

ἔφη. ὅπερ ᾠκοδόμησε σοι ὁ χριστιανος ἐκεῖνος ὁ θωμᾶς. ὅν καὶ ἐν φυλακῇ ἐκβαλὼν δέσμιον. βούλει κολάσαι ἀδίκως ὡς δῆθεν ὑπ᾽ αὐτοῦ ἐμπαιχθεὶς περὶ τῆς τοῦ παλατίου οἰκοδομῆς. ἀλλὰ συ μὲν. τῇ πλάνῃ κατεχόμενος τῆς ματαιότητος. ἐικότως ἀγνοῶν, περὶ ὁρώμενων καὶ φθαρτῶν τὴν σπουδὴν ἔσχες. ἐγὼ δὲ. τὸ τοῦ θαυμαστοῦ ἐκείνου παλατίου κάλλος ἰδὼν, οὐ δύναμαι γλώσσῃ διηγήσασθαι τὴν ὑπερβολὴν τῆς αὐτοῦ εὐπρεπείας. ταῦτα ὁ βασιλεὺς παρὰ τοῦ ἰδίου ἀδελφοῦ ἀκούσας, ἐξεπλάγη μὲν ἐπὶ τοῖς ρηθεῖσιν. συνῆκεν δὲ ὅμως περὶ τῶν ἑαυτοῦ χρημάτων. τῶν ὑπὸ τοῦ ἀποστόλου διανεμηθέντων τοῖς ἐνδέσεσιν, ὅτι τεταμίεται αὐτῷ τὰ μέλλοντα ἄγαθὰ. ὑπὲρ τούτων.

онже ре҃ еи ю҃ ти созда҃ онъ крѣлаи҃. и ре҃ емꙋ брате тоа полаты не могꙋ ти продати не ви҃ма бо е҃ по зижителя има҃ и съзижде҃ ти послак же изведе фомꙋ из темнїца и гл҃а емꙋ ѿпꙋсти нама е҃ ти согрѣшихоцѣ не разꙋмѣюще и сотвори ны обѣщника того. его ты пронокѣдлеши. анла҃ ре҃ и азъ ка҃ ѿнꙋцꙋ да бꙋдета обѣщника црт҃ка его. и пои҃ просвѣтї а. да҃ има баню пакыбытия во има ѡц҃а и сн҃а и ст҃го дх҃а излѣснима има ѿ крещенна авье явися има їсъ. ꙗ҃ дивити҃ анл҃ꙋ. и свѣ велїи осїа и ꙋтверже а в вѣрꙋ. изиде и ти на пꙋть свои о гд҃и. емꙋ҃ ню҃бле҃ всака слꙗка ч҃ть и державка. нн҃ѣ и пр҃но и вв҃ѣ:

καὶ λέγει τῷ ἑαυτοῦ ἀδελφῷ. ἐκεῖνο τὸ παλάτιον ἀδελφέ μου πωλῆσαι σοι οὐ δύναμαι ἀόρατον γάρ ἐστιν. ἀλλ᾽ εὔχομαι κἂν ἐγω ἐπιτυχεῖν αὐτοῦ, καὶ ἐν αὐτῷ καταξιωθῆναι οἰκεῖν. σὺ δὲ. ει ἀληθῶς βούλει τοιοῦτον παλάτιον ἀγορᾶσθαι. ἰδοὺ. ὁ ἄν̄ος ζῇ ὁ τῶν τοιούτων οἰκοδόμος. καὶ πάντως κτίζει σοι. ἐκείνου ἴσον καὶ ὅμοιου. φυλ. 57. καὶ εὐθέως πέμψας ὁ βασιλεὺς ἐξήγαγεν ἐκ τῆς φυλακῆς τόν τε ἀπόστολον θωμᾶν. καὶ ἀβάνην τὸν ἔμπορον. καὶ πρὸς ἑαυτὸν μετακαλεσάμενος τὸν ἀπόστολον, προσέπεσεν αὐτοῦ τοῖς ποσὶν λέγων. συγχώρησον ἡμῖν, εἴτι ἐπλημμελήσαμεν εἰς σὲ ἀγνοοῦντες. καὶ ποίησον ἡμᾶς ἐπιγνῶναι. ὅν σὺ σέβῃ καὶ κηρύττεις θν̄. ὁ δὲ ἀπόστολος εἶπεν πρὸς τὸν βασιλέα. ἐὰν ὁλοψυχως πιστεύσηται εἰς αὐτὸν ἐκεῖνος ὑμῖν συγχωρήσει πάντα ὑμῶν τὰ ἁμαρτήματα. συνθεμένου τοινυν τοῦ βασιλέως καὶ τοῦ αὐτοῦ ἀδελφοῦ, πρὸς τὴν τῶν χριστιανῶν πίστιν ἐπιστραφῆναι ὁλοκαρδίως, ἤρξατο ὁ ἀποστολος ἐκτίθεσθαι αὐτοῖς τὸ σρῖον κήρυγμα. διδάξας δε αὐτοὺς ἱκανῶς. καὶ πρὸς θεογνωσίαν στηρίξας. ἐφώτισεν αὐτοὺς τῷ ἁγίῳ βαπτίσματι πανοικί. ἐν δε τῷ βαπτίζεσθαι τὸν βασιλέα. καὶ τὸν αὐτοῦ ἀδελφὸν. ἐφάνη αὐτοῖς ὁ σῆρ, ἐν ἀπείρῳ λαμπρότητι. ὥστε ἰδόντα καὶ τὸν ἀπόστολον τὴν ὑπερβάλλουσαν αἴγλην. ἐπιπλεῖον δοξάσαι καὶ εὐχαριστῆσαι τὴν ευσπλαγχνίαν καὶ ἀγαθότητα τοῦ φιλανθρώπου θῦ. ἐκεῖνοι δε βαπτισθέντες καὶ θείας χάριτος ἀξιωθέντες πολλοῖς γεγόνασιν ὑπόδειγμα καὶ προτροπὴ. πρὸς τὴν ὁδὸν τῆς ἀληθινῆς πίστεως. ὁ μέντοι θεῖος ἀπόστολος. περιῆγεν ἐν πᾶσι τοῖς μερεσιν ἐκείνοις. τὸν λόγον κηρύττων τῆς ἀληθείας. καὶ ἐπιστρέφων τοὺς ἄν̄ους. ἀπὸ τῆς ἀσεβείας εἰς εὐσέβειαν καὶ ἐπίγνωσιν τοῦ ὄντως θῦ. πᾶσαν δὲ τὴν χώραν τῶν ἰνδῶν. τῇ τοῦ Κῦ χάριτι διὰ τῆς αὐτοῦ γλώττης μεταβαλὼν πρὸς τὴν τῶν χριστιανῶν πίστιν, μαρτυρικῷ τέλει καὶ αὐτὸς τῆς προσκαίρου ζωῆς ἀπαλλάττεται. καὶ πρὸς τὸν ἑαυτοῦ διδάσκαλον ἐκδημήσας χν̄. τὴν ἀτελεύτητον σὺν αὐτῷ καὶ αἰώνιον βασιλέυει βασιλεἰαν. ὧ πρέπει πᾶσα δόξα τιμή καὶ προσκύνησις. σὺν τῷ πρ̄ι καὶ τῷ ἁγίῳ πν̄ι. εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Чтеніе и объясненіе снимка.

Чтеніе снимка, смотри въ выпискахъ. Заставка заглавныя буквы. Азбука изъ заглавій и скорописная. Знаки препинанія: точка, комма, вопросительный знакъ, точка съ коммою.

Сокращенія: Καὶ δὲ ευλόγησον. Μεγάλου μαρτυρος. Μηνὶ Απριλλίῳ. ἄνδρασ, ελεύθέρους ἱκανῶν ἡμᾶν. Слова съ соединительнымъ знакомъ: ἀρχιμάγοι. частица: δὲ̀ съ двумя удареніями. Буквы: α., въ соединеніи съ другими: ἄξει, διδάξασ. ε., δεξιωθεἰσ, μέχρι ἐξῆλθον. σ., περισσοτέρωσ. τ., μετὰ κηρυττομένω. ν., конечная. ἐσπούδαζον. Знаки вносныхъ мыслей. Звѣздочка при началѣ заглавій. Запись писца почти вся стерлась. Видно только: θεοφάνουσ, и годъ ϛφλ. (1022).

V) Сборникъ Житій Святыхъ

Находится въ Московской Сѵнодальной Библіотекѣ подъ № 15.

Длина пергамина	$7\frac{7}{8}$	в.
Ширина	6.	в.
Къ корешку	$\frac{5}{8}$	в.
Между столбцами	$\frac{1}{2}$	в.
Къ правой сторонѣ	$1\frac{3}{8}$	в.
Къ верху	$1\frac{1}{8}$	в.
Къ низу	$1\frac{1}{8}$	в.

Пергаменъ отъ времени по краямъ пожелтѣлъ, не совсѣмъ чистъ, по мѣстамъ и прорѣзанъ и поврежденъ. Писано скорописью по нарѣзамъ въ два столбца на 367 листахъ. Простыя заставки заглавія, и заглавныя буквы писаны краскою малиноваго цвѣта. Колеръ чернилъ свѣтло и темно-коричневый. Помѣта тетрадей внизу по срединѣ съ обоихъ сторонъ. Число строкъ на страницѣ 32, 33 и 35. Вверху 1-го листа подписано: τῶν Ἰβήρων, а внизу: Арсеній κκ.

1) л. 1—7 об. β'. τῇ επαύριον ιι. τοῦ ἐν ἁγίοις πρς ἡμῶν βασιλείε ἀρχιεπισκόπου καισαρείας καππαδοκίας λόγος εἰς τὸ ἅγιον πνα. Начало: Θῦ μεμνῆσθαι μὲν δικαιε....... εὐσεβὲς καὶ κόρον οὐκ ἔχον τῇ φιλοθέῳ ψυχῇ.

2) л. 7 об. β'. — 16 об. β' μινὶ ἀπριλλίῳ κγ. διήγισις θαυμάτων τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτορος χυ γεωργίου. Начало: Οἱ τῶν θῦ δωρεῶν ἀξιωθῆναι ποθοῦντες.

3) л. 17 α'. — 111 об. β'. μηνὶ ιμαΐῳ κδ. Βίος τοῦ ὁσίου πρς ἡμῶν συμεῶν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. Начало: Ἐυλογητὸς ὁ θς. αὐτὸν γὰρ ἐυλογεῖν ἄξιον εἰς μνήμην ἑαυτοὺς τοῦ θεοῦ συμεῶν καθιέντας.

4) л. 112 α'.—122 β'. μηνὶ δεκεμβριω ιζ ἄθλησις καὶ θαυμάτων διήγησις τοῦ ἁγίου ἱερομάρτορς, μοδέστου ἀρχιεπισκόπου ἱεροσολυμων. Начало: Καὶ ὁ θαυμαστὸς μόδεστος. εἷς ὧν καὶ αὐτὸς τῶν τε ἀξιώματι καὶ βαθμῷ διαπρεψάντων ἀρχιερατικῷ.

5) л. 122 об. α'.—227 β'. μηνὶ ἰουλίῳ θ. Ἐυαγρίου ἐπισκόπου εἰς τὸν βίον καὶ τὰ θαύματα τοῦ ἐν ἁγίοις πρς ἡμῶν παγκρατιου ἀρχιπροεδρ.. ταυρομενίας. Начало: Ἐγένετο μετὰ το ἀναληφθῆναι τὸν κν ἡμῶν.

6) л. 227 β'.—285 об. α'. μηνὶ ἰβλίῳ ιθ. Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πρς ἡμῶν θεοδώρου, τοῦ διαλάμψαντος ἐν ἀσκη.... κατὰ τὴν μεγίστην λαύραν τῆς ἁγιάς σάβα. ἔπειτα γεγονότος ἀρχιεπισκόπου πόλεως εδέσης καὶ ἀξιομνημόνευτα καταρθωκότος ἔργα. συγγραφεὶς παρὰ βασιλείου ἐπισκόπου ἐμέσης. Начало: Ἐυλογητὸς ὁ θς. ὁ πὴρ ὁ παντοκρατωρ. ὁ ποιητὴς ουνοῦ τὲ καὶ γῆς.

7) л. 285 об. β'.—297 об. α'. Κεφάλαια τοῦ ὁσίου πρς ἡμῶν θεοδώρου τοῦ σαβαΐτα. Начало: ἐπειδὴ τοῦ θῦ ἀγαθοῦ χαριτὶ. ἀποταξάμενοι τῷ σαταν ἀκαοτοις ἔργοις αὐτοῦ.

Л. 298 об. α и β'. О пророкѣ Иліи.

8) л. 298 α'.—331 β'. μηνὶ ιουλιου κ. Ὑπόμνημα εἰς τὸν ἅγιον καὶ ἐν προφήταις ἠλιοῦ. καὶ εἰς τὸν ὀπαδὸν αὐτοῦ καὶ φοιτιτὴν ἐλισσαιὲ τὸν προφήτην. καὶ μερικὴ διήγησις τῶν τεράτουργιῶν αὐτῶν καὶ θαυμάτων. Начало: Το μὲν λόγοις ἐγκωμίων καὶ συγγραφαῖς ἐπαίνων τὴν παροῦσαν τοῦ μεγίστου ἐν προφήταις ἠλιοῦ....

θ. л. 313 β'.—319 α'. Βίος καὶ πολιτεῖα. τοῦ ὁσίου πρς ἡμῶν ἀλεξίου τοῦ ἀνου τοῦ θῦ. Начало: μνήμη δικαίων καὶ τῆς ἀρίστης αὐτῶν πολιτείας διήγησις. ἐπίδοσις ὑπάρχει καὶ αὔξησις ἀρετῆς.

ι. л. 320 α'—324 α'. Νείλου μοναχοῦ. περὶ παθῶν. α. περὶ γαστριμαργίας. Начало: Ἀρχὴ καρποφορίας ἄνθος. καὶ ἀρχὴ πρακτικῆς ἐγκράτεια.

ια. л. 324 α'.— 331 об. β'. Τοῦ ὁσίου πρς ἡμῶν μαξίμου ὁμολογητοῦ ἑρμηνεία εἰς τὸ πὲρ ἡμῶν. πρὸς Σέργιον μαγίστρον αἰτήσαντα περὶ τούτου: Начало: Ἀυτὸν ἐδεξαμεν τὸν θεοφύλακτόν μου δεσπότην.

ιβ. л. 331 об. β'. Ὀλυμπιοδώρου ὑπόμνημα εἰς τὸν ἐκκλησιαστὴν. ὑπόθεσις τοῦ πρώτου κεφαλαιου. Начало: Τῶν ὄντων τὴν γνῶσιν ἀψευῆ δεξάμενος ὑπὲρ θῦ σωλομον ὁ τοῦ δᾱδ ὑσ.

Выписки изъ подлинника съ древнимъ славянскимъ переводомъ.

л. 227 β. Μηνὶ Ἰουλίω ιθ.

Βίοσ καὶ πολιτεία του ἐν ἁγίοισ πρσ ἡμῶν θεοδώρου τοῦ διαλάμψαντοσ ἐν ἀσκη κατὰ τὴν μεγίστην λαύραν τοῦ ἁγίου σάβα. ἔπειτα γεγονότοσ ἀρχιεπισκόπου πόλεωσ ἐδέσησ καὶ ἀξιομνημόνευτα καταρθωκότοσ ἔργα. συγγραφεὶσ παρὰ βασιλείου επισκόπου ἐμέσησ: εὐ.

Ἐυλογητὸσ ὁ θσ. ὁ πηρ ὁ παντοκράτωρ. ὁ ποιητὴσ οὐνοῦ τὲ καὶ γῆσ. ὁρατῶν τε πάντων καὶ ἀοράτων εὐλογητὸσ ὁ μονογενὴσ ῦσ καὶ λόγοσ τοῦ θῦ. ὁ ἀνάρχωσ τὲ καὶ ἀχρόνωσ ἐκ τοῦ πρσ. γεννηθεὶσ θῦ ἐκ θῦ. σοφία τῆς τῶν ὅλων β΄. συστάσεωσ περιεκτικη! καὶ δύναμισ. τῆσ ὅλης κτίσεωσ ποιητική εὐλογητὸς ὁ παράκλητοσ τὸ ἅγιον καὶ ζωοποιὸν πνα τὸ ἐκ τοῦ πρσ ἐκπορευόμενον, καὶ δι υἱοῦ πεφυκὸσ τοῖσ ἀνοῖς. ἡ τρισυπόστατοσ καὶ ὁμοούσιοσ ἁγια τριάσ. τελεία δόξη καὶ ἰδιότητι καὶ βασιλεία μὴ μεριζομένη. ἡ ἄναρχοσ φύσισ. τὸ δεσποτικὸν ἀξίωμα ἡ φυσικὴ ἀγαθότης. ὁ ἐν τριάδι εἷσ θσ. ὁ δημιουργὸς καὶ συνοχεὺσ καὶ προνοητὴσ ἁπάντων ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν. καὶ μὴ παρορῶν ἁμαρτάνοντα ἀλλὰ θέμενοσ ἐπὶ σρῖα μετάνοιαν. ὃν εὐλογοῦσιν οὐνῶν αἱ δυνάμεισ. καὶ δοξάζουσι στρατιαὶ τῶν ἀγγέλων. αὐτὸν οὖν τὸν ἀγαθὸν καὶ πανοικτίρμονα θν εὐχαριστῶ καγὼ ὁ εὐτελὴς καὶ ἀνάξιοσ ἐι καὶ οὐκ εἰμὶ ἱκανὸσ πρὸσ δοξολογίαν β΄ τῆσ αὐτοῦ ἀγαθότητοσ. αὐτῶ πρεσφέρω ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν. καὶ δέομαι ἐπακοῦσαι μου ἐν ᾗ ἂν ἡμέρα αὐτὸν ἐπικαλέσομαι. καὶ δοῦναι μοι λόγον. ἐν ἀνοίξει στόματοσ μου. ὅπωσ διηγήσωμαι βίον ἐνάρετον. καὶ ὠφελείας ψυχικῆσ πεπληρωμένον. τῶ ὄντι γὰρ αὐτὸν. εὐλογεῖν ἄξιον. καὶ ἐπικαλεῖσθαι. ἐισ μνήμην ἑαυτουσ τοῦ μεγάλου καθιέντασ θεοδώρου. καὶ κατ᾽ αὐτὸν ἤδη συγγράφειν προειρήμενουσ. θεοδώρου φημὶ. τοῦ κατὰ τὴν μεγίστην λαύραν τοῦ θείου σαβα. ἀγγελικὴν πολιτείαν καὶ διαγωγίαν μετελθόντοσ. οἶτα τὸν ἀρχιερατικὸν θρόνον κοσμήσαντοσ, πολεωσ ἐδέσησ. πολλάσ τε ψυχὰσ σεσωσμένασ τῶ θῶ προσαγογόντοσ. καὶ ἰσαποστολικὴν χάριν ἐκ θῦ δεξαμένȣ. κηρύττειν διαπρυσίωσ τὸν λόγον τῆσ ἀληθείασ. καὶ ὀρθοτομεῖν τὴν πίστιν τῆσ ἁγίασ τριάδοσ. ἐπεὶ καὶ θῦ δῶρον ἀνοῖσ οὗτοσ ἀληθῶσ. τοῦ καὶ πρὸ διαπλάσεωσ αὐτὸν ἐκλεξαμένου. л. 228 ά. καὶ πρὸ γεννήσεωσ ἁγιάσαντοσ. ὡσ ἂν καὶ βίου τύπον ἔχοιμεν αὐτὸν μοναδικοῦ. καὶ ἱερωσύνησ ἀληθουσ ὑπόδειγμα. ἐι γὰρ καὶ κρεῖττον ἢ κατ᾽ ἐμὴν δύναμιν τὸ ἐγχείρημα. ἀλλὰ τὸ μέν τι συλλήψεται πάντωσ μοι ἡ θεία καὶ συμπαθὴσ ἐκείνη ψυχὴ. τῶ ἀδελφιδῶ αὐτοῦ καὶ οἰκέτη. τὸ δὲ καὶ συγγνώσεται.

Изъ житія святаго Θеодора Едесскаго № 269. XVI в. Унд.

Мца їюла въ ѳ. днъ.

Житїе и жизнь иже во сты оца нашего феѡра возсїявшаго в постнице в велицеи лаврѣ. стго оца нше савы, посе же бывша архїепа во граде едессе. и достопомнимаа исправившии дѣла списана ѿ василїа. еппа амосїискаго. благослови ѿче.

Oriens Chr. 11 966. въ № 1081 перев. другой. по крайней мѣрѣ древнѣе сего.

Блгвенъ бгъ ѿць гь вседержитель. творе нбу и земли видимымъ всѣмъ и невидимы благословенъ единородныи снъ и слово бжїе безначаленъ же и безлѣте ѿца родивыися. бгъ ѿ бга прмсть всѣ составленїа содержащиа. и сила всю тварь сотворшїа. благословенъ оутѣшитель стыи животворащїи дхъ. ѿ ѿца исходаи и сно. явленъ учкомъ. трисоставнаа и единосѹщнаа неразделимаа стаа троице. совершенаа славою и сѹществомъ. и цртво не изменяемо. безначалное естество и вѹчнее достоинство. естественаа бгостыни во троицы единъ бгъ. содѣтель и содеръжитель и прмысленїкъ всѣ вѣкъ. даан просащему прмсть и разумъ, и не призираа согрѣшающаго. но положивъ на спсение покаанїе. л. 1 об. егоже благословатъ нбныe силы. и славатъ воинства аггелъ. того оубо блго (sic) и премлтївагo бга благодарю и азъ недостоиныи хѹдыи, аще и недоволенъ есмь на слословие того бгостына. тому приношу исповѣданїе. и велелѣпоту. и молюса оуслышати ма вонъ же днь аще призову его. и дати ми слово во ѿверзенїе оустъ моихъ. яко да исповѣмь житие предобродетено. и ползы дшевные исполнено. воистину того оубо благословити достоино есть и призывати. воспоминаю бо великаго мѹжа. и яже ѡ немъ подвиги и поценина и добродѣтели. недостоитъ бо таковые меда слачанїя ползы. великаго реку феѡдора. бывшаго в велицеи лаврѣ бжественнаго савы в забвенїе положити. аггельскимъ житїемъ и пребыванїемъ прешедша посем стыи прстлъ оукрасивша. града ефесскаго и многы оубо дша спсены къ бгу приведоша. и равноаггельскую благодать приемшаго, проповѣдати слово истины. и исправлати вѣру стые троица. понеже бо и бжии даръ чловѣко л. 2. сей воистину. преже бо зачатиа его избра. и преже рожества его ѡсвещева якоже и житие и оуставъ имѣти ему иноческаго и стиниа истиннаго ѡбраза. аще оубо и боле есть моея силы начатокъ но оубо наставитъ ма чтаа и матинлаа ѡна дша. и вразумитъ ма брата своего и раба. еже воѡбразити

συγγνώσεσθε δε καὶ πάντεσ οἱ τῆσ ψυχωφελοῦσ ταύτησ πολιτείασ ἀκροαταὶ. μηδὲν τοῦ πρὸσ δύναμιν ἐλλίποντι. ἐι καὶ τοῦ πρὸσ ἀξίαν πλεῖστον ἀπολίπομαι. δεῖ δὲ μικρὸν ἀ·ωτέρω τὸν λόγον ἀναγαγόντασ. οἵων ὁ τουοῦτοσ ἔφυ γονέων. καὶ ὅστισ ὁ τῆσ συλλήψεωσ τρόποσ αὐτοῦ. πρότερον παραστῆσαι. εἶτα καθ᾽ εἱρμὸν τὰ λοιπὰ τῆσ διηγήσεωσ ἐπισυνάψαι. ἀνὴρ τίσ. οὐ πολλοῖσ ἔμπροσθεν χρόνοισ ἐξ ἐδέσησ ὁρμώμενοσ. ὄνομα συμεών. εὐσεβῶν γονέων ὖσ. καὶ ἐν ἐυσεβείᾳ καὶ φόβῳ θῦ τραφεὶσ, πᾶσαν ἠσπάζετο ἀρετῆσ ἰδέαν. ἐπεὶ δὲ ἤδη καὶ γάμου καὶ συζυγίασ ἔδει διὰ τὴν ἡλικίαν. διαλέγονται οἱ τούτου γονεῖσ πατρᾶσι κόρησ. μαρία δε ὄνομα β΄. αὐτῆ. ἐφ ὧ πρὸσ γάμουσ αὐτὴν ἀγαγέσθαι τῶ νεανίσκω. οἱ δὲ ἀσμένωσ τοῦτο δεξάμενοι, τῆ θυγατρὶ μηνύουσιν. ἡ δὲ παρθενίαν ἠσπάζετο. μᾶλλον. καὶ δυσχερῶσ εἶχε περὶ τὸν γάμον. ἐγκειμένων δὲ. τῶν γονέων καὶ οὐκ ἀνιέντων. εἶξεν ἡ κόρη καὶ ἄκουσα τῶ θελήματι τῶν τεκόντων, καὶ γάμου κοινωνία τῶ σύμ συνάπτεσθαι. εὐγενεῖσ δὲ κατὰ τὴν ἔδεσαν ἀμφοτέρων οἱ γονεῖσ ὑπῆρχον. καὶ περιουσίαν αὐτάρκη κεκτημένοι. ἡ μὲν οὖν μαρία ἐναρέτωσ βιοῦσα. κοινωνὸν τὸν ἄνδρα. καὶ τοῦ τρόπου ποιεῖται, τῆς ὁμοίασ αὐτῆ γνώμησ ὄντα καὶ διαθέσεωσ. ἐπὶ χρόνον δὲ τίσι συνοικοῦσα τῶ ἀνδρὶ. θυγατρὸσ μὲν μιᾶσ μῆρ ἐγεγόνει, τῆσ ἐμὲ δηλολέτι τεκούσησ. ἄρρενα δὲ παῖδα οὐκ ἔτυχε κτήσασθαι. ἐφ ὧ λίαν τὴν ψυχὴν ὀδυνωμένη. τῆ τοῦ θῦ συνεχῶσ ἐπεφοιτα ἐκκλησία. ἐπὶ τοῦ ἐδάφουσ τὲ καθημένη. καὶ νηστεία πολλῆ ἑαυτὴν κατατρύχουσα. ἄρτον ἑαυτῆσ τὰ οἰκεῖα δάκρυα ἡμέρασ καὶ νυκτὸσ ἐποιεῖτο. δεήσε·ί τε καὶ εὐχαῖσ τὸν θν̃ л. 228 об. ά. ἱκετεύουσα. δοθῆναι αὐτῆ ἄρρενα. παῖδα, ὅν πάλιν αὐτὴ. δοτὸν προσάξει θῶ. ἐν μιᾶ δὲ τῶν ἡμερῶν. κατ᾽ αὐτὸ δὴ τὸ πρῶτον τῶν ἁγίων νηστειῶν σάββατον. ὅτε καὶ μνήμην θαύματοσ ἐπιτελεῖν τῆ ἐκκλησία σύνηθεσ, τοῦ μεγάλου μάρτυροσ θεοδώρου. ἀφικνεῖται καθ· αὖθισ ἡ γυνὴ πρὸσ τὸν θεῖον τῶν ἀποστόλων ναὸν. ἅμα τῶ ανδρὶ. συνήθωσ εὐχαῖσ τὲ καὶ δεήσεσι τὸν θν̃. ἐκλιπαροῦντεσ. τοὺσ ἁγίουσ τε αὐτοῦ μαθητὰσ καὶ ἀποστόλουσ ἐις πρεσβείαν κινοῦντεσ. ἅμα δὲ καὶ τὸν ἅγιον μάρτυρα θεόδωρον ἐκδυσωποῦντεσ συνανπλαβέθαι αὐτοῖσ τῆσ πρὸσ τὸν θν̃ μεσιτείασ. ὡσ εὐπρόσδεκτον αὐτοῖσ τὴν προσευχὴν γενέσθαι, καὶ δοθῆναι τούτοισ υἱόν. Κατ᾽ αὐτὴν δὲ, τὴν νύκτα. γλύκεια τις ἐφίσταται ὄψισ αὐτοῖς ἰδία ἑκάστω φανεῖσα. ἐδόκουν γὰρ καθ᾽ ὕπνον. ὁρᾶν τὸν θεῖον θεόδορον ἱστάμενον ἅμα τῶ β΄. ἀποστόλω παύλω. καὶ τοία δε τὸν μάρτυρα λέγοντα. πρὸσ τὸν θεῖον ἀπόστολον. ἰδοὺ μαθητὰ τοῦ Κῦ. δέησιν οὗτοι μάλα θερμοτάτην προσάγουσι. ἄρρενα παῖδα λαβεῖν αἰτούμενοι. δὸσ οὖν αὐτοῖσ τὴν ἔκβασιν τῆς αἰτήσεωσ. ὁ δὲ δώσει μὲν ἔφη κσ̃ αὐτοῖς υἱόν. σὺ δὲ δώσεισ τὴν τούτου κλῆσιν. τῶ ὄντι γὰρ. δῶρον ἔσται θῦ τὸ τεχθησόμενον παιδίον. ἡ δὲ μαρία. κατάφοβοσ ὁμοῦ καὶ περιχαρὴσ δι ὕπνισθεῖσα. καὶ τὸν ἄνδρα διεγείρασα, τὸ ὅραμα διηγεῖτο. ὁ δὲ τὰ αὐτὰ θεάσασθαι καὶ αὐτὸσ διεβεβαιοῦτο. παραχρῆμα τοίνυν. ὡσ εἶχον ἑαυτοὺς τῶ ἐδάφει δόντες καὶ κεφαλὰσ ἐπ᾽ αὐτῶ πρὸ τοῦ θυσιαστηρίου μετὰ καὶ γονάτων ἐρείσαντεσ. σὺν ὀχετοῖς δακρύων, εὐχαριστηρίους ἠφίουν φωνὰσ πρὸσ

ѡ немъ слово. разоумѣите же вси иже дш҃еполезнаго сего житиꙗ послуси. внꙋтоже еже к силе недостатоуьствꙋющꙗ. аще бо и воле есть къ столанїю (sic) недостатоуьствꙋю. подобаетъ же мало выше слово возвести. ꙗко да ѿ коею таковы бысть родителю. и како зачатиꙗ его ѡбразъ, прежде представити и посемъ по радꙋ проуаꙗ исповѣданїꙗ начати. мꙋ҃ж нѣкїи немного лѣтъ пре҃д сими имыи ѿ едеса сыи има емꙋ семиѡнъ. бл҃говѣрнꙋ родителю сн҃ъ, и по бл҃говѣрнꙗ и страсе бж҃їи воспитанъ. вс҃ꙗ любляше добродѣтели ѡбразъ. понеже оубо и бракꙋ причтанїе подобаше быти вещаста сего родители с родительма дв҃цꙗ марїꙗ л. 2 об. сеи има. юже на бракъ привести юноше. ѡнаже радостию се приемши сеи девствовати пауе любляше. и печаль имаше ѡ браце. прилежащима же и не ѡслабляющема родителема, повинꙋ хотѣнїю има. и бракꙋ причтанию семиѡнъ притоуевастꙗ бл҃городна же во ефесе ѡбою вѣста родителꙗ. и имѣнїе доволно имꙋще. м҃риꙗ же добрымъ житиемъ живꙋщи. причсна правꙋ и мꙋ҃жа сотворяетъ. подобна еи разꙋма сꙋщꙗ и любви в лѣтехъ живꙋщи еи с мꙋжемъ. дщери оубо единои м҃ти бысть. мꙋжеска же полꙋ не прилꙋчиса имъ имѣти. ѡ нем же зѣло дш҃ею болаше. в б҃жию прихождаше цр҃квь на земли сѣдащи и постомъ многимъ себе оудрꙋчающи. и хлѣбъ себѣ своа творащи слезы дн҃ь и нощъ молащиса датиса еи ѡтроча. егоже дания бг҃ꙋ приложити гл҃аше. во единꙋ же ѿ дн҃и. в первꙋю сꙋботꙋ ст҃го поста. егда памать велика мꙋ҃ченика феѡдора. ѡбыкла есть цр҃кви творити. прииде авие л. 3. жена в бж҃ственнеи апостольстеи цр҃кви. вкꙋпно и с мꙋжемъ по ѡбычаю мл҃ащи бг҃а и ст҃ые его оученики и ап҃лы к м҃твꙋ подвизающи. датиса има сн҃ъ. вкꙋпно и ст҃го мꙋ҃ченика феѡдора молащи да поможе҃т еи ходатаиство҃м к бг҃ꙋ еже бл҃гопрїатие быти м҃тве еꙗ. в тꙋ҃ж нощь. сл҃адко некое видѣнїе пре҃дста има. ѡсобь комꙋждо и҃х. ꙗвиса мнѣста бж҃ественаго феѡдора. вкꙋпно с павломъ стоаща, видѣти и таковаꙗ гл҃юща емꙋ. се оуч҃нче г҃нь м҃твꙋ сию пауе приносита тепла. плода уресьнаго просита. да҃ждь оубо има воздаанїе приношенїю. ѡнже даетъ има сн҃ъ тожде нареуенїе подаетъ гл҃а. во истинꙋ оубо бꙋдетъ даръ бж҃їи ражаемое ѡтроча. мариꙗ же со страхомъ вкꙋпьно и радостию возбꙋ҃дивши и мꙋжа своего воздвигии и видѣние исповѣда. ѡнже та҃ждо к неи видѣти повѣдоваше. авие ꙗкоже ѡбычаи имѣста себе на землю прекл҃ониша и главы с колѣнома во ѡлтареви прекл҃ониша течении слезными бл҃годарьственые испꙋщаста гласы. пребыста л. 3 об. во цр҃кви до скончанїꙗ оутренаго пѣнїꙗ на оутрии҃ж возратиса во свои домъ; мал҃е же минꙋвшимъ днемъ зачат м҃рка по

θυ̃ προσκαρτερήσαντεσ δὲ τῶ θείω ναῶ μέχρι συμπληρώσεως τῶν ἑωθινῶν ὕμνων. ἅμα πρωΐ εις τὸν οἰκεῖον ἐπανέρχονται л. 229 ά. οἶκον. ὀλίγων δὲ διαγενομένων ἡμερῶν. συνέλαβεν ἡ μαρία. κατὰ τὴν τοῦ θείου πάυλου. ἐπαγγελίαν. καὶ συνετήρει ἑαυτὴν. ὥσπερ τι θεῖον ἐν ἑαυτῇ φέρουσα σκέυος. τοῦ χρόνου δὲ ἤδη τῶν ὠδίνων συντελεσθέντοσ, τίκτει ἡ γυνή. λίαν ἀλύπω τοκετῶ χρησαμένη. τεσσαρακοστῆ τοίνυν μετὰ τὸν τόκον ἡμέρα, προσάγει τὸ βρέφος τῇ τοῦ θῦ ἐκκλησία. ἀντιδοῦσα καθάπερ ἔλαβε. καὶ θῶ τῶ δεδωκότι καθιεροῦσα. δίετεσ δὲ γεγονο τὸ παιδίον. προσάγουσιν οἱ γονεις τῶ ἀρχιερεῖ τῆς δὲ τῆς πόλεως. δεόμενοι τελειῶσαι αὐτὸ διὰ τοῦ θεου βαπτισματος. ὁ δὲ θείω πνι κατιδὼν σκεῦοσ ἐκλογῆς ἔσεσθαι τὸ νήπιον, ἀσμένως βαπτίζει. και θεόδωρον καλεσας ἀνάγει τοῦ ὕδατος δαψιλῆ τὴν χάριν δεξάμενον τοῦ ἁγίου πνσ. πεντα β΄. ἐτης δὲ ἤδη γενόμενος ὁ παῖς. διδασκάλω παραδίδωται, τὰ ἱερὰ μανθάνειν γράμματα. μὴ ἐπιτηδείως δὲ ἔχων πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν. ἀλλὰ φυσικῆ τινὶ πιεζόμενος ἀφυΐα. ἢ καὶ οἰκονομικῶς τάχα τοῦτο ὑφιστάμενος. ἵνα καὶ ἡ τῶν γραμμάτων μάθησις. θεόθεν αὐτῶ ᾖ ἐπὶ διετῆ χρόνον εις τὸ διδασκαλεῖον φοιτὼν, ἄμοιρος παντη τῶν μαθημάτων ἦν. πολλὰ μὲν οὖν παρὰ τῶν γονέων στυφόμενος. πλεῖστα δὲ παρὰ τῶν παιδευτῶν μαστιζόμενος ἀλλὰ καὶ παρὰ τῶν συμφοιτητῶν ὀνειδιζόμενος, βουλὴν βουλέυεται ἀγαθὴν καὶ θεάρεστον. καὶ τῶν κυριακῶ ναῶ προσφεύγει, ἐν ἡμέρα κυριακῇ. καὶ ἐν τῶ θείω εἰσελθὼν θυσιαστηρίω. ὑπὸ κάτω τῆς ἁγίας ἑαυτὸν κατακρυπτει τραπέζης, μηδενὸς τῶν ἱερέων ἑωρακότος αὐτὸν. κατ᾽ αὐτὴν δὲ τὴν ὥραν τῆς θείασ л. 229 об. ά. ἱερουργίας. εἰσοδέυει ὁ ἀρχιερεὺς ἅμα τῶ ὑπ᾽ αὐτὸν κλήρω. καὶ τὴν θείαν ἐπιτελεῖ μυσταγωγίαν, ὁ δὲ παῖς θεόδωρος ὕπνω κατενεχθεὶς ὑπὸ τὴν ἁγίαν ἣν τράπεζαν, ἕως συμπληρώσεως τῆς λειτυργίας. ἐκεῖ σε τοίνυν ὑπάρχων ὁρᾶ ἐνώπιοσ ἐνωπίω παῖδα. κάλλει ὡραῖον κηρίον μέλιτος ψωμίζοντα αὐτὸν, καὶ μοναδικὴν ὑπαγορέυοντα πολιτειαν. πρὸς δὲ καὶ ποιμαντικὴν ἐγχειρίζοντα ῥάβδον. ὁ δὲ παῖς. τὴν καρδίαν πρὸς τὴν ὄψιν ἀναφλεγεὶς. καὶ ὅτι χσ ὁ κσ καὶ θσ ἔιη γνοὺς, προσπίπτει τοῖς ποσὶν αὐτοῦ τοῖς ἁγίοις καὶ εὐλογεῖται τῇ θεϊκῇ αὐτοῦ ἐπισκιάσει. ἔξυπνος δὲ γενόμενος. ἔξεισι τῆς θείας τραπέζησ, τῆσ λειτουργίας ἤδη συμπληρωθείσης. ὃν ὁ ἀρχιερεὺς θεασάμενος. ἐν θαύματι ἐποιεῖτο καὶ β΄. ἐπηρῶτα τί βούλεται αὐτῶν ἡ ἐκεῖσε κατάκρυψις. ὁ δὲ παῖς. ἁπλοϊκῶ ἤθει καὶ πραεία φωνῇ διηγεῖτο λέγων. πολλῇ ἀφυΐα συνεχόμενοσ. καὶ μὴ δυνάμενος τὰ ἱερὰ μαθεῖν γράμματα. ἐντεῦθεν τὲ πολλοῖς περιπειρόμενος κακοῖς. παρά τε τῶν γονέων παρά τε τῶν παιδευτῶν ἐξαπορήσας πανταχόθεν, πρὸς τὸν ἀγαθὸν κατέφυγον δεσπότην καὶ θν τῶν ἁπάντων. εἶτα διηγεῖται καὶ τὴν θαυμασίαν ὅρασιν ἐκείνην ἧς ἠξιώθη. ἅπερ

гл҃у бж҃твеннаго павла и соблюдаше себѣ яко нѣкии в себѣ носяще бж҃твеныи сосѹ. времени абие болѣзни скончавши роди и зело безпечално рожество приемъши. в четвертодесятныи же д҃нь по рожествѣ, принесе мл҃нць во х҃вѣ ц҃ркви. воздающи якоже приятъ. и б҃гу давшему, и освящающю. двема же лѣтома бывшю отрочати. приведоста родителя во с҃тлю того града. моляста ся крещенїемъ бж҃ственымъ совершити. онъ же д҃хомъ бж҃ственны провидѣ. сосѹдѹ избранѹ быти младенцю. с радостию крести и. феодора того нарекъ. возвед же и ѿ воды, б҃годать приемъша б҃гатно с҃тго д҃ха. пятымъ же лѣтомъ бывъ дѣтищь. оучителю преданъ бысть с҃тымъ оучитися книгамъ ѡнже неключимое имѣя ко оученїю восхожению. естественною нѣкою ѿягъчився хитростию. л. 4. мню же по смотренїю се быти сму яко да ѿ б҃га книжное оученїе сму будетъ еже и бысть. на другое же лѣто книжное оученїе не хитросне навычаше и не точе бысть всѣхъ оученїю. много бо ѿ родителеи свариимъ баше, боли же ѿ казателя томимъ. и ѿ дружины оукоряемъ совѣща совѣтъ б҃гъ. и в црко прибѣже в д҃нь нл҃ныи. и во олтарь вше. и спо с҃тыя трапезы себѣ сокры. ни единому же ерѣю видѣвше его. в то же ч҃съ бж҃ественые слѹжбы вхо сотвори архиереи съ сѹщи в немъ крылосомъ. и бж҃ственою совершаше слѹжбѹ. дѣтищь же феодоръ сно оусне подъ с҃тою трапезою. и бѣ тако до скончанїя литергѣя. тѹ оубо сыи видѣ лицемь въ лице оуноша добротою красна, сотомъ мѣвяными питающа его. и иноческое повѣдающе сму житие. и пастырьныи вручающа ему жезлъ. дѣтищь в видѣнию разгоревъся яко х҃съ г҃ь и б҃гъ разумѣвъ. припаде ко с҃тыма ногама его. и б҃гословенъ бысть бж҃ественымъ его ѡсѣненїемъ. л. 1 об. возбнувъ же абие. изыде ѿ бж҃ественые трапезы. скончание же бывши службѣ егоже архиереи видѣвъ. зело на мънозе оужасенъ бывъ и вопрошаше и что свершася ему тѹ сокровенїе. дѣтищ же простымъ обычаемъ и кроткымъ гласом исповѣда. многою г҃ля не хитростию ѡдержимъ и не могии наоучитися с҃ты кни. и яко многими искѹшаем злыми. ѿ родите оубо и оучитель и ничто же ѿ всюдѹ получивъ. ко б҃гому прибего г҃у и б҃гу всѣхъ. и посемъ и страшное оно видѣнїе повѣдае. яко слышавъ архиереи пристрашенъ бы. и б҃годарьственые б҃гви воздаяше пѣсни. абие же руце возло на дѣтище чтецемъ и сотвори. и во свои его причте влиросъ ѿтого часа. ѿ толе оубо любезенъ бывает оучителемъ. любеи же и дружине. овы же минуя овы же превозъходя но въ каковѣ образѣ наказанїя. первие оубо бж҃ественная писанїя напис

ἀκούσας ὁ ἀρχιεπίσκοπος. ἔκθαμβος τε ἐγεγόνει. καὶ εὐχαριστηρίους ἥφιει πρὸς θν φωνὰδὲς. εὐθὺς χεῖρας ἐπιθεὶς τῶ παιδὶ, ἀναγνώστην αὐτὸν ἀποκείρει καὶ τῶ κατ᾽ αὐτὸν κλήρω ἐντάττει. ἐξ ἐκείνης δὲ τῆς ὥρας. τοιαύτη χάρις εὐμαθείας καὶ εὐφυΐας ἐδόθη αὐτῶ, ὡς ἐκ μιᾶς μόνης л. 230 ά. ἢ δευτέρας ἀναγνώσεως ἐκμανθάνειν. εἶτε

δαυϊτικους προέθετο μελετᾶν ψαλμοὺς, εἴτε τι καὶ ἕτερον μάθημα. ὥς τε οἱ πρώην αὐτὸν σκώπτοντες καὶ ὀνειδίζοντες, ζηλωτον (— ὴ) αὐτὸν ἡγοῦντο καὶ μακάριον, τοιαύτης ἀξιωθέντα χάριτος. ἐντεῦθεν. ποθεινὸς μὲν ἦν διδασκάλοις. ποθεινὸς δὲ ἥλιξι. τοῖς μὲν παρεκτεινόμενος, τοὺς δὲ ὑπεραίρων κατὰ πᾶν εἶδος παιδεύσεως. πρότερον γὰρ. τὰ θεῖα ταῦτα καὶ ἡμέτερα καλῶς διδαχθεὶς μαθήματα. διαπλάττεται πλᾶσιν ἀρίστην τὲ καὶ καθαρωτάτην. ἔπειτα καὶ τὴν ἐγκύκλιον παίδευσιν ἐπιχειρεῖ. ὑπό τινι σοφιστῆ, σωφρονίω καλουμένω. ὅν κοινὸν παιδευτὴν ἡ τῶν ἐδεσηνῶν τηνικαῦτα πόλις εἶχε. παρ᾽ αὐτῶ τοίνυν φοιτῶν, γραμματικὴν τε καὶ ῥητορικὴν καὶ φιλοσοφίαν, ἄκρως ἐκπαιδέυεται. τῶ ὄντι φιλόσοφος ἔργω τε καὶ λόγω β΄. δεικνύμενος. καὶ θεοσέβειας ἐξασκούμενος. ὀκτω καὶ δεκάτου δὲ τῆς ἡλικίας ἐνιαυτοῦ ἐπιβὰς, ὀρφανίαν ὑφίσταται τοῦ πρ͂ς. εἶτα. μετ᾽ ἐνιαυτὸν ἕνα καὶ ἡ μῆρ ἀπολιμπάνει τὸν βίον. πρὸς μονὰς ἀλονίους. ἡ ἱερὰ πορευθεῖσα σοζυγία. ὁ τοίνυν καλὸς θεόδωρος τὰ νενομισμένα καὶ τετυπωμένα ἐπὶ τῇ τῶν γονέων ἀποδημία ποιήσας. καὶ δάκρυσι μὲν τιμήσας τελευτήσαντας τοὺς γεγεννηκότας. εὐχαῖς τὲ καὶ πενήτων οἰκτιρμοῖς καὶ ἱεραῖς λειτουργίαις τὰς ἐκείνων κοσμήσας μνήμας, ὅλος ἦν τῆς ἐκδημίας τοῦ κόσμου. καὶ ὅλος ἀντειχετο τε καὶ περιείχετο τῆς μοναδικῆς ἢ ἀγγελικῆς μᾶλλον ἐιπεῖν πολιτείας. ἀμέλει πᾶσαν αυτοῦ τὴν γονικὴν περιυσίαν διελὼν. καὶ μέρος μὲν τῇ ἀδελφῇ αὐτοῦ л. 230 об. ά. ἐμῆ δὲ μρ͂ι δοὺς πρὸ πολλοῦ ἀνδρὶ συζευχθείσῃ. τὴν δὲ λοιπὴν πᾶσαν κτῆσιν. ἔν τε ἀγροῖς καὶ χρυσῶ καὶ ἀργύρω ἱκανὴν οὖσαν, πᾶσαν διένειμε πένησι. τὰ δὲ οἰκετικὰ γένη πάντα ἐλευθερώσας, καὶ λεγάτα παρασχὼν ἅπασι. καὶ οὕτως ἁπαξαπλῶς. πάντα τὰ δεσμὰ τοῦ παρόντος βίου τοῦ ἀπαταιῶνος διαρρήξας. καὶ ὥσπερ τις ἀετὸς αἰθερου βάτης. κούφοις ἑαυτὸν πτεροῖς περιστεῖλας ἀπαίρει τῶν τοῦ κόσμου φροντίδων. καὶ ἀπολειπὼν, γῆν ἰδίαν καὶ συγγένιαν. καὶ οἶκον πατρικὸν. κατὰ τὸν πάλαι μέγαν πατριάρχην, ἐις τὴν ἁγίαν παραγίνεται πόλιν ἰλῆμ. ἔνθα δὴ ὁ σῆρ ἡμῶν καὶ κσ͂ Ισ͂ Χσ͂. τὸ ἑκούσιον καὶ στρῖον ὑπέστη πάθος, τὴν παγκόσμιον ἐργασάμενος σρῖαν. ἐν τάφω τὲ τριημερεύσας β΄. ἀνέστη ὁ ἀθάνατος, συναναστήσας τὴν ἡμετέραν φύσιν. ἐκ τῆς ἐις γῆν καταπτώσεως. καὶ ἐκ τῶν τοῦ ἅδου βαράθρων ἐξαγαγὼν τοὺς πάλαι δεσμίους, ὡς κραταιὸς καὶ δυνάστης. ἐκεῖσε τοίνυν γενόμενος ὁ θεῖος ἐκεῖνος καὶ κράτιστος νεανιας. ἐικοσαέτης που ὑπάρχων τῶ σώματι. πολῶς δὲ καὶ προβεβηκὼς τῶ φρο-

